# Parón

Testimonia DK 26

**Fr. 1**/ 1 =  Aristotelés, Physica IV, 13; 222b17
οἱ μὲν σοφώτατον ἔλεγον [τὸν χρόνον], ὁ δὲ Πυθαγόρειος Πάρων ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτωι, λέγων ὀρθότερον.

**Fr. 1**/ 2 =  Simplikios, p. 754, 9 (cfr. Simplikios, In Physica 740, 34)
οὗτος δὲ ἔοικεν εἶναι, οὗ καὶ Εὔδημος (fr. 52 Sp.) ἀνωνύμως ἐμνήσθη λέγων ἐν Ὀλυμπίαι Σιμωνίδου τὸν χρόνον ἐπαινοῦντος ὡς σοφώτατον, εἴπερ ἐν αὐτῶι αἱ μαθήσεις γίνονται καὶ αἱ ἀναμνήσεις, παρόντα τινὰ τῶν σοφῶν εἰπεῖν·
τί δέ, ὦ Σιμωνίδη, οὐκ ἐπιλανθανόμεθα μέντοι ἐν τῶι χρόνωι;